ταῖς παρὰ τῶν εὐσεβεστάτων τιμαῖς μάλιστα χαί-
ρειν. ἐπαινέτης δ' ἦν καὶ τοῦ ἔπους τούτου

Καδδύναμιν δ' ἔρδειν ἱερ' ἀθανάτοισι θεοῖσι·

καὶ πρὸς φίλους δὲ καὶ ξένους καὶ πρὸς τὴν ἄλλην δίαι-
ταν, καλὴν ἔφη παραίνεσιν εἶναι τὴν Καδδύναμιν ἔρ-
4 δειν. Εἰ δέ τι δόξειεν αὐτῷ σημαίνεσθαι παρὰ τῶν
θεῶν, ἧττον ἂν ἐπείσθη παρὰ τὰ σημαινόμενα ποιῆ-
σαι, ἢ εἴ τις αὐτὸν ἔπειθεν ὁδοῦ λαβεῖν ἡγεμόνα τυ-
φλὸν καὶ μὴ εἰδότα τὴν ὁδὸν, ἀντὶ βλέποντος καὶ
εἰδότος· καὶ τῶν ἄλλων δὲ μωρίαν κατηγόρει, οἵτινες
παρὰ τὰ παρὰ τῶν θεῶν σημαινόμενα ποιοῦσί τι,
φυλαττόμενοι τὴν παρὰ τοῖς ἀνθρώποις ἀδοξίαν. αὐ-
τὸς δὲ πάντα τἀνθρώπινα ὑπερεώρα πρὸς τὴν παρὰ
5 τῶν θεῶν ξυμβουλίαν. Διαίτῃ δὲ τήν τε ψυχὴν
ἐπαίδευσε καὶ τὸ σῶμα, ᾗ χρώμενος ἄν τις, εἰ μή τι
δαιμόνιον εἴη, θαῤῥαλέως καὶ ἀσφαλῶς διάγοι, καὶ
οὐκ ἂν ἀπορήσειε τοσαύτης δαπάνης. οὕτω γὰρ εὐ-
τελὴς

*εὐσεβεστάτων τιμαῖς*] Eandem ſententiam tractat Cicero de Nat. D. II, 28 *Cultus Deorum eſt optimus* etc.: Perſeus Sat. II, 73: Plinius Panegyr. c. 3 *Animaduerto enim, etiam Deos ipſos* etc. Ex Pariſ. 3 recepi *μάλιστα* pro vulgato *μάλα*.

*καὶ τοῦ ἔπους τούτου*] In vna Caſel. exciderat *καὶ*: hinc idem abeſt in edd. Ern. prioribus.

*καδδύναμιν*] Heſiod. Ἐργ. καὶ Ἡμ. v. 336. *Ern.*

§. 4. *σημαίνεσθαι παρὰ τῶν θεῶν*] Articulum addidi ex Cod. Pariſ. 1.

*ἔπειθεν*] H. e. *ſuaſiſſet*, ſeu *perſuadere conatus eſſet.*

*παρὰ τὰ παρὰ τῶν θ.*] In Iunt. deeſt prius *παρὰ* et in Pariſ. et Cod. Pariſ. 3 poſterius. In codd. Brodaei eſt *μὴ* inſertum ante *ποιοῦσι*. Hanc interpolationem peperit neglectum illud *παρὰ* prius.

*φυλαττόμενοι*] Expreſſit Ibyci, antiquiſſimi Lyrici, verſus, quos Plato affert in Phaedro p. 243, B: *καί πως ἐδυσωπούμην, μή τι παρὰ θεοῖς ἀμπλακὼν, τιμὰν πρὸς ἀνθρώπων ἀμείψω.* Vide quae notavimus ad Timaei Lex. Plat. p. 66. *Rubnk.*

*πάντα τἀνθρώπινα*] Quod Reiſkius acute coniecit, id ex ed. Pariſ. reuocaui. Vulgo eſt *πάντ' ἀνθρώπινα.*

§. 5. *εἰ μή τι δαιμόνιον εἴη*] *Niſi Deo ſecus videatur: niſi Deus ipſe aliquid impedimenti obiiciat.* MS. 2 habet *δαιμόνων*. eadem varietas alio loco notata eſt. *Ern.* Caeterum auctor religioſiſſimus ſimili formula dicendi ſubinde vtitur: vt *ἢν μή τις θεὸς βλάπτῃ* Cyrop. I, 6, 18: V, 2, 12: Symp. VIII, 43: *ἢν μὴ θεὸς ἀποκωλύῃ* Oecon. V, 18: *ἢν ὁ θεὸς εὖ διδῷ* Cyrop. III, 1, 34: *ἢν θεὸς ἀγαθὸν τέλος διδῷ* ibid. III, 2, 29: *ἢν οἱ θεοὶ σὺν ἡμῖν ὦσιν* ibid. V, 4, 37 etc.

*τοσαύτης δαπάνης*] Scil. *ὁπόσης δεῖ πρὸς τὸν βίον.* Pretia rerum

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id375455116/68 gefördert von der Deutschen Forschungsgemeinschaft DFG